γραπται αὐτῷ ὑπομνήματα εἰς Πλάτωνα καὶ Περὶ ἀρχῶν καὶ Φιλόσοφος ἱστορία.

Hesy. 40 Δάμασος, Ῥώμης ἐπίσκοπος, εἰς ἐποποιΐαν εὐφυής, πολλὰ καὶ σύντομα ἡρωϊκῷ μέτρῳ ἐξέδωκε, καὶ ὀγδοηκοντούτης ἐπὶ Θεοδοσίου βασιλέως ἐτελεύτησεν. ἔγραψε καὶ ἄλλα πολλά.

Hesy. 41 Δαμάστης, Σιγειεύς, ἀπὸ Σιγείου τῆς Τρῳάδος, Διωξίππου υἱός, γεγονὼς πρὸ τῶν Πελοποννησιακῶν, σύγχρονος Ἡροδότῳ, τῶν πλουσιωτάτων, ἱστορικός. γέγραφε Περὶ τῶν ἐν Ἑλλάδι γενομένων, Περὶ γονέων καὶ προγόνων τῶν εἰς Ἴλιον στρατευσαμένων βιβλία β', Ἐθνῶν κατάλογον καὶ πόλεων, Περὶ ποιητῶν καὶ σοφιστῶν· καὶ ἄλλα συχνά. γέγονε δὲ Ἑλλανίκου μαθητής.

Δ 42 Δαμάτειρα: ἡ δαμάστρια.

Δ 43 Δαμαίων: κύριον.

Σ Hom. 44 Δαμέντα: δαμασθέντα, ἢ φονευθέντα. καὶ Δαμῆναι, δαμασθῆναι.

45 Δαμιανός, Ἐφέσιος, σοφιστής· ὃς καὶ ἐν ὑπάτοις ἐνεγράφη ἐπὶ τοῦ βασιλέως Σευήρου καὶ Βιθυνίας ἦρξε καὶ τὴν στοάν, τὴν ἐκτὸς Ἐφέσου ἀποτεινομένην εἰς τὸ ἱερόν, θολικὴν κατεσκεύασεν.

46 Δάμις, ἀνὴρ οὐκ ἄσοφος, τὴν ἀρχαίαν οἰκῶν Νῖνον. οὗτος τῷ Ἀπολλωνίῳ προσφιλοσοφήσας ἀποδημίας τε αὐτοῦ ἀναγέγραφεν, ὧν κοινωνῆσαι καὶ αὐτός φησι· καὶ γνώμας καὶ λόγους καὶ ὁπόσα ἐς πρόγνωσιν εἶπεν. ὁ γὰρ Ἀπολλώνιος ἀπὸ Ἀντιοχείας ἧκεν εἰς Νῖνον. προσεφοίτησε δὲ αὐτῷ Δάμις ὁ Νῖνος καὶ συνῆν αὐτῷ, ὅ τι μάθοι μνημονεύων. φωνὴ δὲ ἦν τῷ Ἀσσυρίῳ ξυμμέτρως πράττουσα. τὸ γὰρ λογοειδὲς οὐκ εἶχεν, ἅτε παιδευθεὶς ἐν βαρβάροις· διατριβὴν δὲ ἀναγράψαι καὶ ξυνουσίαν καὶ ὅ τι ἤκουσεν ἢ εἶδεν ἀνατυπῶσαι καὶ ὑπομνήματα τοιάδε ξυνθεῖναι σφόδρα ἱκανὸς ἦν. οὐ μὴν ὡς δυοῖν γε ἀμελῆσαι τούτοιν, τῆς τε ἀνδρίας, ᾗ χρώμενος Ἀπολλώνιος διεπορεύθη βάρβαρα ἔθνη καὶ ληστρικά, οὐδ' ὑπὸ Ῥωμαίους πω ὄντα, τῆς τε σοφίας, ᾗ τὸν Ἀράβιον τρόπον ἐς ξύνεσιν τῆς τῶν ζώων φωνῆς ἦλθεν. ἔμαθε δὲ τοῦτο διὰ τουτωνὶ τῶν Ἀραβίων πορευόμενος.

Σ 47 Δάμνα: ἐδάμαζεν.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413864820/10 UNIVERSITÄT LEIPZIG